κατθανεῖν Ἀριστοφάνης δέ φησι τὸ περὶ δὲ δειπνεῖν καὶ τὸ καθεύδειν κώδιον. πεποίηκε δὲ τοῦτο ἐπειδὴ ὁ Διόνυ-

A σος οὐδὲν ἕτερον ἠγάπα ἢ δειπνεῖν καὶ καθεύδειν ἐν μαλακοῖς στρώμασιν οἷά ἐστιν τὰ ἐκ κωδίων.

## ΧΟΡΟΣ.

## CHORVS.

Bisetvs. Ὁ χορὸς τὴν σοφίαν, καὶ σύνεσιν ἐπαίρων ἐπαινεῖ, καὶ τὰς τούτων τῆς ἀρετῆς ὠφελείας καλὸν Αἰσχύλου παράδειγμα προτιθεὶς δηλοῖ.

Κορωνὶς καὶ ἔκθεσις χοροῦ

B ἐπῳδικὴ ἐκ κώλων ιη.

Χο. Μακάριόν γ' ἀνὴρ ἔχων
Ξύνεσιν ἠκριβωμένην.
Πάρα δὲ πολλοῖσι μαθεῖν.
Ὁ δὲ γὰρ εὖ φρονεῖν δοκήσας,
Πάλιν ἄπεισιν οἴκαδ' αὖθις,
Ἐπ' ἀγαθῷ μὲν τοῖς πολίταις,
Ἐπ' ἀγαθῷ δὲ τοῖς ἑαυτοῦ
Ξυγγενέσι τε καὶ φίλοις,
Διὰ τὸ ξυνετὸς εἶναι.
Χαρίεν οὖν μὴ Σωκράτει
Παρακαθήμενον λαλεῖν.
Ἀποβαλόντα μουσικὴν,
Τά τε μέγιστα παραλιπόντα
Τῆς τραγῳδικῆς τέχνης.
Τὸ δ' ἐπὶ σεμνοῖσι λόγοις,
Καὶ σκαριφισμοῖσι λήρων
Διατριβὴν ἀργὸν ποιεῖσθαι
Παραφρονοῦντος ἀνδρός.

Ch. *Homo beatus ille, qui*
*Bene animum politum habet.*
*Datur enim multis discere.*
*Equidem hic Æschylus repertus*
*Sapere, nunc domum redibit,*
*Homo suæque ciuitati,*
*Homo suisque dein propinquis*
C *Vtilis, atque amiculis:*
*Cùm adeò sapiat æqua.*
*Itaque pulcrum est, Socrate*
*Procul omisso, haud discere*
*Garrulitatem, & Musicam*
*Reÿcere artus Tragicæ.*
*Tumida verò proloqui:*
*Magnificéque nugando*
D *Terere tempus otiosum,*
*Hominis imperiti est.*

Σχόλια. Μακάριον.] κορωνὶς καὶ ἔκθεσις χοροῦ ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις καὶ ἀναπαίστοις διμέτρων ιη. ὧν τὰ μὲν α β γ η ι ια ιβ ιδ ιε. καταληκτικὰ ἤτοι ἑφθημιμερῆ Εὐριπίδεια ἢ ληκύθια. τὰ δ' ἄλλα ἀκατάληκτα πλὴν τοῦ θ. καὶ τελευταίου βραχυκαταλήκτων ἰθυφαλικῶν. ἐπὶ τῷ τέλει κορωνίς. λείπει δὲ τὸ πρᾶγμα. ἵν' ᾖ μακάριον πρᾶγμα. φίλους δὲ νῦν ὡς καὶ ἡμεῖς. πολλαχοῦ δὲ τοὺς συγγενεῖς καὶ ἀναγκαίους. Χαρίεν οὖν.] ὅτι νῦν πρὸς Σωκράτην ἑταιρείαν δηλοῖ. Παναίτιος δὲ ὅλα ταῦτα περὶ ἑτέρου Σωκράτους φησὶ λέγεσθαι, τοῦ περὶ σκηνὰς φλυάρων, ὡς Εὐριπίδης. ἄλλως. τὸν Σωκράτη ἐνταῦθα κατηγορεῖ. ζῶν γὰρ οὗτος ὡς πολυλόγος κατηγορεῖτο, ὅτι πολλοὺς λόγους ἐν τοῖς ἐργαστηρίοις καὶ τραπέζαις διεξήρχετο περὶ φιλοσοφίας. λέγει οὖν ὅτι καλόν ἐστι, μὴ μετ' αὐτοῦ τινα διάγειν ἀφέντα τοὺς ποιητὰς τοιούτους ὄντας ὡς καὶ μετὰ θάνατον ἀναβιοῦν αὖθις δύνασθαι. οὗ νῦν Αἰσχύλος ἔτυχε. Καὶ σκαριφισμοῖς.] συνεστραμμένοις καὶ στενοῖς. παρόσον ἐκ ἀνειδέοις οἱ φιλόσοφοι διελέγοντο. ἢ ὅτι σκαρισμοῖς καὶ λεπτολογίαις. σκιαγραφίαις. σκαριφεύειν γὰρ τὸ τοὺς ζωγράφους ὑποτυποῦσθαι πρῶτον τοὺς γραφομένους. καὶ σκαριφήσασθαι ἐπὶ τοῦ ἐπισεσυρμένως τὶ ποιεῖν καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν σκιαγραφεῖν. εἰσὶ δὲ καὶ οἱ φιλόσοφοι λόγοι ὥσπερ σκιαὶ καὶ αἰνίγματα διὰ τὸ ἀερῶδες αὐτῶν καὶ λεπτόν. ἴσως δὲ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ σκάριφος. ἤγουν τὸ κάρφος καὶ φρύγανον, μᾶλλον δὲ ἡ γραφίς. Παραφρονοῦντος ἀνδρός.] λείπει τό, ἐστίν. ὡς καὶ τὸ Ὁμηρικὸν, εἰδ' ἤδη τεθνᾶναι, καὶ εἰν αἴδαο δόμοισι. λείπει γὰρ κἀνταῦθα τὸ ἐστί.

E

F

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ Σκηνὴ πέμπτη.

## ΠΛΟΥΤΩΝ, ΑΙΣΧΥΛΟΣ, ΧΟΡΟΣ.

## ACTVS V. SCENA V.

## Plvto, Æschylvs, Chorvs.

Bisetvs. Πλούτων Αἰσχύλῳ ἐξ Ἅδου ἀναχωροῦντι χαίρειν λέγει, καὶ τί ὑπ' αὐτοῦ Ἀθήνησι ποιεῖσθαι ἐθέλοι, διὰ βραχέων διδάσκει. Πάλιν δὲ καὶ ὁ

G Αἰσχύλος τὸν Σοφοκλέα τῷ Πλούτωνι συνιστάνει, ὅπως τὸν ἑαυτοῦ θρόνον, διὰ τὸ σοφίᾳ δεύτερον κριθῆναι, βεβαίως τηρήσῃ Εὐριπίδου ἐκεῖθεν ἀπελαθέντος.

Ἔκθεσις τοῦ δράματος, ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων κη.